200

# Δημόκριτος

«4. Οι δε περί φύσεως άπαντες αει υποτιθέασιν ετέραν τι- | Αριστοτ.
να φύσιν τω απείρω των λεγομένων στοιχείων, οίον ύδωρ η | Φυσικης ακρο-
αέρα η το μεταξύ τούτων. των δε πεπερασμένα ποιούντων | άσεως. Γ. δ.
στοιχεία ουθείς άπειρα ποιεί· όσοι δ' άπειρα ποιούσι τα | Τ. Β. σ. 277.
στοιχεία, καθάπερ Αναξαγόρας και Δημόκριτος ο μεν
εκ των ομοιομερών, ο δ' εκ της πανσπερμίας των σχημά-
των, τη αφή συνεχές το άπειρον είναι φασι. (5) και
ο μεν οτιούν των μορίων είναι μίγμα ομοίως τω παν-
τι δια το οράν οτιούν εξ οτουούν γιγνόμενον· εντεύ-
θεν γαρ έοικε και ομού ποτε πάντα χρήματα φά-
ναι είναι, οίον ήδε η σαρξ και τόδε το οστούν, και ού-
τως οτιούν· και πάντα άρα· και άμα τοίνυν· αρχή
γαρ ου μόνον εν εκάστω εστί της διακρίσεως, αλλά και
πάντων· επεί γαρ το γιγνόμενον εκ του τοιούτου γίγνε-
ται σώματος, πάντων δ' εστί γένεσις πλην ουχ άμα,
και τινα αρχήν δει είναι της γενέσεως· αύτη δ' εστί μί-
α, ον εκείνος καλεί νουν· ο δε νους απ' αρχής τινος
εργάζεται νοήσας· ώστε ανάγκη ομού ποτε πάντα εί-
ναι και άρξασθαί ποτε κινούμενα. (6) Δημόκρι-
τος δ' ουθέν έτερον εξ ετέρου γίγνεσθαι των πρώτων φη-
σιν· αλλ' όμως γε αυτό το κοινόν σώμα απάντων εστίν
αρχή, μεγέθει κατά μόρια και σχήματι διαφέρον. Ότι
μεν ουν προσήκουσα τοις φυσικοίς η θεωρία, δήλον
εκ τούτων.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

201

# Δημόκριτος

«4. Οι δε περι φύσεως άπαντες αει υποτιθέασιν ετέραν τινα φύσιν τω απείρω των λεγομένων στοιχείων, οίον ύδωρ η αέρα η το μεταξυ τούτων· των δε πεπερασμένα ποιούντων στοιχεία ουδεις άπειρα ποιει· όσοι δ' άπειρα ποιουσι τα στοιχεία, καθάπερ Αναξαγόρας και Δημόκριτος, ο μεν εκ των ομοιομερων, ο δ' εκ της πανσπερμίας των σχημάτων, τη αφη συνεχες το άπειρον είναι φασι· και ο μεν οτιουν των μορίων είναι μίγμα ομοίως τω παντι δια το οραν οτιουν εξ οτουουν γιγνόμενον· εντεύθεν γαρ έοικε και ομου ποτε πάντα χρήματα φάναι είναι, οίον ήδε η σαρξ και τόδε το οστουν, και ούτως οτιουν· και πάντα άρα· και άμα τοίνυν· αρχη γαρ ου μόνον εν εκάστω εστι της διακρίσεως, αλλα και πάντων· επει γαρ το γιγνόμενον εκ του τοιούτου γίγνεται σώματος, πάντων δ' εστι γένεσις πλην ουχ άμα, καί τινα αρχην δει είναι της γενέσεως· αύτη δ' εστι μία, ον εκείνος καλει νουν· ο δε νους απο αρχης τινος εργάζεται νοήσας· ώστε ανάγκη ομου ποτε πάντα είναι και άρξασθαί ποτε κινούμενα (6) Δημόκριτος δ' ουδεν έτερον εξ ετέρου γίγνεσθαι των πρώτων φησιν· αλλ' όμως γε αυτο το κοινον σώμα απάντων εστιν αρχη, μεγέθει κατα μόρια και σχήματι διαφέρον. Ότι μεν ουν προσήκουσα τοις φυσικοις η θεωρία, δήλον εκ τούτων.»

Αριστοτ. Φυσικης ακροάσεως. Γ. δ. Τ. Β. σ. 277.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ